πάντα ὑγιῆ, καὶ ἀσινῆ τυγχάνει. ὁ δὲ φησί, οὐ σοὶ πέ-
πομφε ταῦτα, ἀλλὰ τῇ εὐνοούσῃ. ἡ δὲ γυνὴ τοῦ Ξάνθου
φησί, καὶ τίς αὐτῷ πλέον μου εὐνοεῖ. ὁ δὲ ἔφη, μεῖ-
νον καὶ ὄψει. φωνήσας δὲ τὴν κύνα, δέχου φησὶ λύ-
ποππύσασα καινα καὶ φάγε. ἡ δὲ ποππύσασα προσέδραμεν ἐπ'
αὐτῷ τὴν κέρκον ὧδε κἀκεῖσε περιστρέφουσα, καὶ οὕτως
ἔρριψε τῇ κυνὶ, ἓν καθ' ἓν ὅλα τὰ μέρη, λέγων, σοὶ
εἶπεν ὁ δεσπότης δοθῆναι. Πάλιν οὖν ἐπορεύθη ὁ Αἰ-
σωπος πρὸς τὸν δεσπότα. ὁ δὲ Ξάνθος λέγει αὐτῷ,
δέδωκας τῇ εὐνοούσῃ τὰ μέρη; ὁ δὲ ἔφη πάντα λαβοῦ-
σα ἐνώπιον μου κατέφαγε. Καὶ ὁ Ξάνθος, τί δὲ ἄ-
ρα ἔλεγεν ἐσθίουσα; Αἴσωπος εἶπε, ἐμοὶ μὲν οὐδὲν, τῷ
δὲ νοῒ αὐτῆς ηὔχετό σοι. ἡ δὲ γυνὴ τοῦ Ξάνθου περί-
λυπος γενομένη ἔλεγε, τὴν κύνα προκέκρικε μου, πῶς
αὐτῷ συνοικήσω. οὐ μένω μετ' αὐτοῦ, καὶ εἰσελθοῦσα εἰς